ὑπολαμβάνειν καὶ ὑποκρίνεσθαι τοὐναντίον, ἐπισημαινομένους ἐν τοῖς ὅρκοις, ὅτι Οὐκ ἀδικήσω τὸν δῆμον. μέγιστον δὲ πάντων τῶν εἰρημένων πρὸς τὸ διαμένειν τὰς πολιτείας, οὗ νῦν ὀλιγωροῦσι πάντες, τὸ παιδεύεσθαι πρὸς τὰς πολιτείας. ὄφελος γὰρ οὐθὲν τῶν ὠφελιμωτάτων νόμων, καὶ συνδεδοξασμένων ὑπὸ πάντων τῶν πολιτευομένων, εἰ μὴ ἔσονται εἰθισμένοι καὶ πεπαιδευμένοι ἐν τῇ πολιτείᾳ· εἰ μὲν οἱ νόμοι δημοτικοὶ, δημοτικῶς· εἰ δ' ὀλιγαρχικοὶ, ὀλιγαρχικῶς. εἴπερ γάρ ἐστιν ἐφ' ἑνὸς ἀκρασία, ἔστι καὶ ἐπὶ πόλεως. ἔστι δὲ τὸ πεπαιδεῦσθαι πρὸς τὴν πολιτείαν οὐ τοῦτο, τὸ ποιεῖν οἷς χαίρουσιν οἱ ὀλιγαρχοῦντες, ἢ οἱ δημοκρατίαν βουλόμενοι, ἀλλ' οἷς δυνήσονται, οἱ μὲν ὀλιγαρχεῖν, οἱ δὲ δημοκρατεῖσθαι. νῦν δ' ἐν μὲν ταῖς ὀλιγαρχίαις οἱ τῶν ἀρχόντων υἱοὶ τρυφῶσιν· οἱ δὲ τῶν ἀπόρων, γίγνονται γεγυμνασμένοι καὶ πεπονηκότες· ὥστε καὶ βούλονται μᾶλλον, καὶ δύνανται νεωτερίζειν. ἐν δὲ ταῖς δημοκρατίαις ταῖς μάλιστα εἶναι δοκούσαις δημοκρατικαῖς, τοὐναντίον τοῦ συμφέροντος καθέστηκεν. αἴτιον δὲ τούτου, ὅτι κακῶς ὁρίζονται τὸ ἐλεύθερον. δύο γάρ ἐστιν οἷς ἡ δημοκρατία δοκεῖ ὡρίσθαι, τῷ τὸ πλεῖον εἶναι κύριον, καὶ τῇ ἐλευθερίᾳ. τὸ μὲν γὰρ δίκαιον, ἴσον δοκεῖ εἶναι· ἴσον δ', ὅτι ἂν δόξῃ τῷ πλήθει, τοῦτ' εἶναι κύριον. ἐλεύθερον δὲ καὶ ἴσον, τὸ, ὅτι ἂν βούληταί τις, ποιεῖν. ὥστε ζῇ ἐν ταῖς τοιαύταις δημοκρατίαις ἕκαστος ὡς βούλεται, καὶ εἰς ὃ χρῄζων, ὥς φησιν Εὐριπίδης. τοῦτο δ' ἐστὶ φαῦλον. οὐ γὰρ δεῖ οἴεσθαι δουλείαν εἶναι τὸ ζῆν πρὸς τὴν πολιτείαν ἀλλὰ σωτηρίαν. ἐξ ὧν μὲν οὖν αἱ πολιτεῖαι μεταβάλλουσι καὶ φθείρονται, καὶ διὰ τίνων σώζονται καὶ διαμένουσιν, ὡς ἁπλῶς εἰπεῖν, τοσαῦτά ἐστι.

Κεφάλαιον ι.

Λείπεται δ' ἐπελθεῖν καὶ περὶ μοναρχίας, ἐξ ὧν τε φθείρεται, καὶ δι' ὧν σώζεσθαι πέφυκε. σχεδὸν δὲ παραπλήσια τοῖς εἰρημένοις περὶ τὰς πολιτείας ἐστὶ, καὶ τὰ συμβαίνοντα περὶ τὰς βασιλείας, καὶ τὰς τυραννίδας. ἡ μὲν γὰρ βασιλεία, κατὰ τὴν ἀριστοκρατίαν ἐστίν· ἡ δὲ τυραννὶς, ἐξ ὀλιγαρχίας τῆς ὑστάτης σύγκειται καὶ δημοκρατίας. διὸ δὴ καὶ βλαβερωτάτη τοῖς ἀρχομένοις ἐστὶν, ἅτε ἐκ δυοῖν συγκειμένη κακῶν, καὶ τὰς παρεκβάσεις καὶ τὰς ἁμαρτίας ἔχουσα τὰς παρ' ἀμφοτέρων τῶν πολιτειῶν. ὑπάρχει δ' ἡ γένεσις

A malè habeat. expedit autem ſimulare ac fingere contrarium, atque ita iuramẽtum concipere, Nõ afficiam populum iniuriis. Maximum autẽ omnium quæ dicta ſunt, ad reipublicę ſtabilitatẽ eſt id, quod nunc paruifaciunt omnes, erudiri ad reipublicę diſciplinam. nihil enim proſunt vtiliſſimę leges quę à gubernatoribus decernuntur, niſi moribus inſtituti & diſciplina imbuti in republica homines fuerint: ſi leges populares, populariter: ſi paucorum poten-
B tiæ, ad hanc ipſam gubernationem. Nam ſi eſt in vno intemperantia, eſt etiam in ciuitate. diſciplina autem reipublicæ eſt, non ea facere per quæ lætentur pauci potentes aut populares, ſed per quæ valeant, illi quidem paucorum gubernationem tenere, hi verò popularem. Nunc autem in paucorum potentia gubernatorum filij deliciis intendunt: tenuiorum autem filij gymnaſiis laboribúſque exercentur, itaque & volunt magis & poſſunt res nouas
C moliri. In populari verò ſtatu qui maximè videtur eſſe popularis, contra quàm vtile ſit cõſtitutum eſt. huius rei cauſa eſt, quòd malè definiunt libertatem. Duo ſunt enim, quibus popularis ſtatus definitur. poteſtate ſumma populi, ac libertate. Iuſtum autem æquum videtur eſſe. æquum verò quodcunque videatur multitudini, id eſſe ſtabilitum. liberum autem & æquum quodcunque velit quis facere. ita-
D que viuit vnuſquiſque vt vult in huiuſmodi populari ſtatu, & ad quod gliſcit, vt ait Euripides. Sed hoc eſt prauum. non enim putandum eſt eſſe ſeruitutem, viuere ad formam reipublicæ, ſed ſalutem. Ex quibus igitur mutantur reſpublicæ, & corrumpuntur: & per quæ ſeruantur, & permanent, vt ſimpliciter dicamus, tot & talia ſunt.

CAPVT X.

E RESTAT nunc videre de vnius gubernatione, ex quibus corrumpatur, & per quæ ſeruari valeat. Ferè autem ſimilia ac propinqua ſunt illis, quæ diximus ſuprà de cæteris gubernationibus, illa quę circa regnum, & circa tyrannidem contingunt. nam regia quidem poteſtas optimatum gubernationi reſpondet: Tyrannis autem, ex paucorum potentia illa poſtrema, & ex populari componitur. quapropter per-
F nicioſiſſima eſt his qui ſub ea ſunt: vtpote ex duobus compoſita malis, & tranſgreſſiones & delicta continens, quæ ex ambabus illis proueniunt. Exiſtitq. generatio